# Hekataios z Abdér

Testimonia DK 73 A

**A 1** = Suidás, Lexicon
Ἑκαταῖος Ἀβδηρίτης φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δ' ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα. Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου ...

**A 2** /1 = Strabón, Geographica XIV; p. 644
Τήιοι τὴν πόλιν ἐκλιπόντες εἰς Ἄβδηρα ἀπῴκησαν Θραικίαν πόλιν οὐ φέροντες τὴν τῶν Περσῶν ὕβριν ... πάλιν δ' ἐπανῆλθόν τινες αὐτῶν χρόνωι ὕστερον. εἴρηται δὲ καὶ περὶ Ἀπελλικῶντος ὅτι Τήιος ἦν κἀκεῖνος· γέγονε δὲ καὶ συγγραφεὺς Ἑκαταῖος ἐκ τῆς αὐτῆς πόλεως.

**A 2** /2 = Skymnos (Pseudo-Scymnus?), q. d. perieg. 869
ὡς Ἑκαταῖος εἶφ' ὁ Τήιος.

**A 3** = Diogenés Laertios, Vitae philosophorum IX, 69
πρὸς τούτοις διήκουε τοῦ Πύρρωνος Ἑκαταῖος τε ὁ Ἀβδηρίτης καὶ Τίμων ὁ Φλιάσιος.

**A 4** = Kléméns Alex. Stromata II, 130,5
Ἑκαταῖος δὲ αὐτάρκειαν (sc. τέλος ὑπάρχειν).

**A 5** = Plútarchos, Quaest. conv. IV 3, 1; p. 666e
τῶν νομοθετῶν τοὺς τῆι πολυτελείαι κατὰ κράτος πολεμήσαντας ὁρίσαι μάλιστα τῶν εἰς τοὺς γάμους καλουμένων τὸ πλῆθος. ὁ γὰρ εἰπών, ἔφη (sc. Sossios), περὶ τῆς αἰτίας αὐτῆς τῶν παλαιῶν φιλοσόφων οὐδὲν ἐμοὶ γοῦν κριτῆι πιθανὸν εἴρηκεν Ἑκαταῖος ὁ Ἀβδηρίτης· λέγει δὲ τοὺς ἀγομένους γυναῖκας πολλοὺς παρακαλεῖν ἐπὶ τὴν ἑστίασιν, ἵνα πολλοὶ συνειδῶσι καὶ μαρτυρῶσιν ἐλευθέροις οὖσι καὶ παρ' ἐλευθέρων γαμοῦσι.

**A 6** = Plútarchos, Lyc. 20 (=Apophth. Lac. 218b)
Ἀρχιδαμίδας δὲ μεμφομένων τινῶν Ἑκαταῖον τὸν σοφιστήν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον οὐδὲν ἔλεγεν· 'ὁ εἰδώς, ἔφη, λόγον καὶ καιρὸν οἶδεν'.